τίνου ἐξῄεσαν. Καὶ συνεξῄει τούτοις πᾶν ὅσον τοῦ στρατοῦ γενναῖον ἦν καὶ ἐπίσημον· καὶ εὐθὺς πάντες οἱ στρατιῶται βασιλέα τὸν Ἀλέξιον ἀνηγορεύκασι· καὶ μικρὸν ἔξω τοῦ τείχους στρατοπεδευσάμενοι, τὴν Πόλιν παραλαμβάνουσι διὰ προδοσίας τῶν ἐν τῷ τείχει τῆς Χαρσίου πόρτης φυλασσόντων τότε Νεμίτζων, καὶ τῶν βασιλείων καταβιβάσαντες τὸν Βοτανειάτην, ἐν τῇ μονῇ τῆς Περιβλέπτου ἀποκείρουσιν ἄκοντα, ἐν ᾗ καὶ μετ' ὀλίγον ἀποβιοὺς θάπτεται, ὢν ἐτῶν ὀγδοήκοντα.

---

## ΛΟΓΟΣ ΧΡΥΣΟΒΟΥΛΛΟΣ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΚΥΡ ΑΛΕΞΙΟΥ ΤΟΥ ΚΟΜΝΗΝΟΥ, ΠΕΡΙ ΤΩΝ ΙΕΡΩΝ.

φ. 45ᵛ. † Οἱ πονήρως τοῦ σώματος ἔχοντες καὶ θεραπείας ἰασίμου δεόμενοι, αὐτὸ μὲν τοῦτο εἰδότες ὅτι κάμνουσι, καὶ τῆς νόσου ἐπαισθανόμενοι, μᾶλλον εἰσὶν ἰάσιμοι τοῖς θεραπευταῖς· οἱ δὲ πρὸς τὸ μέγεθος τῆς νόσου ἀναισθητοῦντες καὶ οὐδ' ὅτι νοσοῦσι γινώσκοντες, ἑαυτοῖς καὶ τοῖς ἰατροῖς παρέχουσι πράγματα. Αὐτὸ δὴ τοῦτο κἀν τοῖς ψυχικοῖς ἐστι κατιδεῖν ἀρρωστήμασι· καὶ τῶν ἁμαρτανόντων ἡμῶν, οἱ μὲν εἰς βάθος κακῶν ἐμπεσόντες, καταφρονοῦμεν, καὶ τῷ μεγέθει τῶν ἀνομημάτων ὑπερνικώμενοι, οὐδ' ὅτι ἁμαρτάνομεν αἰσθανόμεθα, εἰς φύσιν πολλάκις τῆς πονηρᾶς ἕξεως μεταπεσούσης· οἷς δὲ θεὸς ἐπιλάμπει σωτήριον φῶς, καὶ μὴ πάντη τὸ διανοητικὸν τῇ κάτω ἰλύϊ συγκέχυται, μηδὲ τῇ πλινθείᾳ ὁ νοῦς καθάπαξ δουλεύειν βιάζεται, ἔστι τούτοις καὶ ἀνανεῦσαι τοῦ πτώματος· καὶ θεοῦ πολλάκις κατὰ τὸ ἀκούσιον ὀλισθήσασιν, ἐπαναδραμεῖν εἰς ἐκεῖνον ἐθελουσίῳ ἀναζητήσει τοῦ κρείττονος. Ὅπερ δὴ κἀν τῇ βασιλείᾳ ἡμῶν συμβέβηκεν ἀτεχνῶς.